Πάντα δρᾶν ὅσ' ἂν κελεύῃς.
Σὺ δ' ἀνδρὸς ἐκπεπληγμένου,
Καὶ φανερῶς ἐπηρμένου,
Γνοὺς, ἀπολέψεις ὅ,τι πλεῖστον δύνασαι,
Ταχέως. φιλεῖ γάρ πως τὰ τοι-
αῦθ' ἑτέρᾳ τρέπεσθαι.

A *Omnia expedire iussa.*
*At tu virum attonitum qui habes,*
*Et manifeste concitum,*
*Excoriabis citò, quantum poteris.*
*Quia res solent huiusmodi*
*Sapè aliò euenire.*

Σχόλια. Ἐκπεπληγμένου.] ἀντὶ τοῦ ἐπαινοῦντος. λείπει δὲ τὸ σέ. οἱονεὶ ἐκπλήκτου καὶ μέγα φρονοῦντος. Ἐπηρμένου] γνοὺς ἀπολέψεις. οἱ λέγοντες γνοὺς ἀντὶ τοῦ αἴσθησιν λαβὼν, ἵνα συντάσσωσι τὴν γενικὴν, οὐ καλῶς λέγουσιν. ἔστι γὰρ αὕτη ἡ γενικὴ πρὸς τὸ ἀπολάψεις, οὕτω, σὺ δὲ ἀπολάψεις, ἀντὶ τοῦ ἀποκερδήσεις ταχέως ὅ,τι πλεῖστον δύνασαι ἀνδρὸς ἐκπεπληγμένου καὶ φανερῶς ἐπηρμένου. εἶτα ὕστερον ἐπάξεις τὸ γνοὺς, ἀντὶ τοῦ οὕτως ἔχοντα αὐτὸν νοήσας. ἔστι δὲ ἀπολάψεις ἐνταῦθα ἀντὶ τοῦ προσακτικοῦ, δείκνυται γὰρ ἐκ τῆς κατασκευῆς ὅτι τοῦτο αἱ Νεφέλαι αὐτῷ ἐπιτάττουσι. Ἀπολέψεις.] ἀπολεπίσεις. ἐὰν δὲ ὡς τοῖς πολλοῖς ἀπολάψῃς, ἐκπίῃ. ἀπὸ τῶν κυνῶν ἡ μεταφορά· ἢ ὅσα λάπτοντα πίνει. καταστρέφει δὲ εἰς τὸ ἀποκερδανεῖς ἢ ἁρπάσεις. ἀποσπάσεις. Ὅμηρος, Λάψαντες γλώσσῃσιν ἀραιῇσι μέλαν ὕδωρ. Φιλεῖ γάρ πως] ἔθος ἔχει. συμβαίνει γὰρ ἄλλως ἀποβαίνειν ἢ προσδοκᾷ τις. ἀντὶ τοῦ εὐμετάβλητοί εἰσιν οἱ ἐξ ἐπιθυμίας ἀλόγου τινὶ συμβαλόντες. εὐμετάβλητοι γὰρ αἱ τῶν τοιούτων ἀνδρῶν γνῶμαι.

C

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ, Σκηνὴ πρώτη.

### ΣΤΡΕΨΙΑΔΗΣ, ΦΕΙΔΙΠΠΙΔΗΣ, ΣΩΚΡΑΤΗΣ,

Τρίμετροι.

## ACTVS III. SCENA I.

### STREPSIADES, PHIDIPPIDES, SOCRATES.

*Senarij.*

BISETVS. Στρεψιάδης τὸ μὲν, δηλώσει, τὸ δὲ, ἀπειλαῖς τὸν υἱὸν πεισθέντα πρὸς τὸν Σωκράτην ἄγει, καὶ αὐτὸν αὐτῷ συστήσας καὶ ἐπιτρέψας παραδίδωσι.

D

Στρ. Οὔτοι μὰ τὴν Ὁμίχλην ἔτ' ἐνταυθοῖ μενεῖς.
Ἀλλ' ἔσθι' ἐλθὼν τοὺς Μεγακλέους κίονας.
Φει. Ὦ δαιμόνιε. τί χρῆμα πάσχεις ὦ πάτερ;
Οὐκ εὖ φρονεῖς μὰ τὸν Δία τὸν Ὀλύμπιον.
Στρ. Ἰδού γ' ἰδοὺ, Δί' Ὀλύμπιον. τῆς μωρίας.
Τὸν Δία νομίζειν ὄντα τηλικουτονί.
Φει. Τί δὲ τοῦτ' ἐγέλασας ἐτεόν. Στρ. ἐνθυμούμενος,
Ὅτι παιδάριον εἶ, καὶ φρονεῖς ἀρχαϊκά.
Ὅμως γε μὴν πρόσελθ', ἵν' εἰδῇς πλείονα.
Καί σοι φράσω πρᾶγμ', ὃ σὺ μαθὼν, ἀνὴρ ἔσει.
Ὅπως δὲ τοῦτο μὴ διδάξῃς μηδένα.
Φει. Ἰδού τί ἐστιν; Στρ. ὤμοσας νῦν νὴ Δία;

*HEic non manebis iam: non: ita me nebulæ ament.*
*Age hinc, Megaclis columnas deuoratum abi.*
PH. *Miserum te: quidnám tibi mali accidit, pater?*
E *Non tu rectè sapis, per Olympium Iouem.*
ST. *Ecce autem, ecce Iouem Olympium, quæ insania*
*Te isthac ætate credere, esse aliquem Iouem?*
PH. *Quid tu isthoc rides, quod verum est?* ST. *quia video*
*Te esse puerum, & sapere senum deliria.*
*Sed age, accede tamen, vt plura ex me scias:*
F *Nam ea tibi dicam, quæ si discas, vir eris.*
*Tu verò hoc ipsum vt quenquam doceas, caue.*
PH. *Eho, quid est?* ST. *Iurastin' modò nūc Iouē?*

Σχόλια. Οὔτοι μὰ τὴν Ὁμίχλην.] κορωνὶς ἑτέρα ὁμοία. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οε. ὧν τελευταῖος πρὸς πάντα τὰ δίκαι' ἀντιλέγειν δυνήσεται. ἐπὶ τῷ τέλει κορωνίς. καὶ ἑξῆς τοῦ χοροῦ. ὤφειλε γὰρ κἀνταῦθα θεῖναι χορὸν, ἄχρις ἂν οἱ λόγοι ἐξέλθωσι. Κίονας.] ὡς ἅπαντα καταφαγόντος τοῦ Μεγακλέους ὡς εἰ ἔλεγε τὸν πλοῦτον. ἐμφαίνει δὲ διὰ τούτων ὡς οὐδὲν αὐτῷ κατελείφθη εἰ μὴ ἡ αὐλὴ Μεγακλέους. λέγει δὲ ὅτι πάντα κατηναλωκὼς, καταλέλοιπε τοὺς λίθους τῆς οἰκίας, αἰνίττεται οὖν εἰς τὴν ἀσωτίαν τοῦ υἱοῦ. ὅτι πάντα κατηνάλωσεν αὐτοῦ, καὶ οὐδὲν ἔτι ὑπολείπεται. ἄλλως. ἐντεῦθεν δῆλον ὅτι ἐν κίοσιν ἵστατο ὁ οἶκος αὐτοῦ. δείκνυται δὲ ὅτι μόνοι οὗτοι ὑπελείφθησαν αὐτῷ τῶν ἄλλων καταναλωθέντων παρ' αὐτοῦ. Οὐκ εὖ φρονεῖς] εἴγε καὶ αὐτὸς ἐπετιμήθη ἐπὶ τούτοις παρὰ Σωκράτους. ταῦτα δὲ πειρᾶται τὸν υἱὸν διδάσκειν. καταγελᾷ δὲ αὐτοῦ ὡς μὴ δεόντος μήτε Δία ὀμνύοντος μήτε νομίζοντος. τοῦ δὲ διὰ τὸ α ἐκτείνεσθαί φησι Σύμμαχος Ἀττικῶς. ἐνδεῖ δὲ τὸ χ. Τηλικουτονί.] ὅτι τελείαν ἔχοντα τὴν ἡλικίαν καὶ ὀφείλοντα πάντα εἰδέναι. Ἀρχαϊκά.] μωρά. εὐήθη. λῆρα. Ἀρχαῖοι οἱ μωροὶ ἐκαλοῦντο ἀπὸ τῶν ἐπὶ τοῦ Κρόνου ἐκείνων ἀρχαίων καὶ ἀπραγμόνων ἀνδρῶν. Ὅπως δὲ τοῦτο,] ὡς ἐπὶ τῶν φρονούντων διδασκάλων. ὡς καὶ αὐτὸς παρηγγέλθη. νομίζει δὲ ταῦτα χρὴ μυστήρια. ἄλλως. τηρεῖ τὰς παραινέσεις ἃς παρῄνεσεν αὐτῷ πρότερον μαθητὴς Σωκράτους. Ἰδοὺ τί ἐστι.] πλησιάσας αὐτῷ φησὶ τὸ ἰδού.

G

Φει. Ε-